ἀγρεύειν. Praestat, opinor, *αἱρεῖ.* Et sic Elmsl. ad Med. 888. Haupt. Blom. Cf. v. str. 108. *ὅπως Ἀχαιῶν (αἴ?) δίθρονον κράτος —.*

128. *πύργων* mss. *Τευκρῶν* Margol. *Φρυγῶν* Housman. Cf. ad v. str. 110. Suspectum.

129. *πρόσθε τὰ* Fl. F. *προσθετὰ* M. *πρόσθετὰ* B. *πρὸς δὲ τὰ* H. L. Ahrens. *πρός τε* (et insuper) *τὰ* Schwerdt. *πρόσθεν κτήνεα* Keck. Cf. Sept. 525. *πρόσθε πυλᾶν.* *δημιοπληθῆ* mss. *δήμιοπληθέα* O. Muller. Keck. Dav. *μυριοπληθῆ* Margol. Weckl., coll. Iph. A. 571. *κόσμος ὁ μυριοπληθής.* *κτήνη δήμια μυριοπληθῆ* conj. Weckl. Cf. vv. *ἀρσενοπληθής, γυναικοπληθής, θυμοπληθής, κενταυροπληθής, παμπληθής* (Xen. Ages. 1, 18. *παμπληθῆ χρήματα ἔλαβον*).

130. *μοῖρ' ἀλαπάξει* M. Ahrens. *μοῖρα λαπάξει* F. Elmsl. ad Prom. 240. Blomf. Eadem forma Ionica exstat Xen. Anab. VII. 1. 29. *ἐξαλαπάξομεν.*

131. *οἷον* (*οἶον* G.) mss. Schol. *μόνον μή.* Quo sensu nescio an nunquam usurpetur *οἷον* (alone). Dedi *μοῦνον* (only). Cf. Suppl. 1012. *μόνον φύλαξαι τάσδ' ἐπιστολὰς πατρός.* Ch. 244. *μόνον Κράτος τε καὶ Δίκη — συγγένοιτό* (l. *συγγένοιντο*) *μοι.* Soph. Phil. 528. *μόνον θεοὶ σώζοιεν ἔκ γε τῆσδε γῆς | ἡμᾶς.* Fatendum tamen est nullum Ionicae formae *μοῦνος* exemplum apud Aeschylum esse praeter compositum *μουνώψ* Pr. 804. Aliter est apud Sophoclem et Euripidem. *προτυπὲν στόμιον*] *τόδ' ἐπιστόμιον* Schwerdt.

132. *ἄτα* libri. *ἄγα* Herm. Dind. etc. Cf. Herod. VI. 61. *φθόνῳ καὶ ἄγῃ χρεόμενος.* *προτυπὲν*] *πρότυπον* H. L. Ahrens. *πρότερον* Kayser. Nescio an recte. Cf. 341. *Τροίας*] Qu. *Τροίᾳ*, for Troy.

134. *στρατωθέν* mss. *στρατευθέν* Turn. Vict. *στρατευθέν* (in expeditionem perfectum) tuetur Butler. Schol. *τὸ ἐπὶ βλάβῃ Τροίας στρατευθέν.* Cum *στρατοῦσθαι* confer *ἐκδρακοντοῦσθαι* Cho. 549. *ἀποταυροῦσθαι* Ch. 275. *ἀνδροῦσθαι, βαρβαροῦσθαι, βροτοῦσθαι* (Hom. Od. 11, 41. *βεβροτωμένα τεύχεα.* Stesich. Fr. 42. *δράκων ἐδόκησε μολεῖν κάρα βεβροτωμένος ἄκρον*), *ἀνθρακοῦσθαι*, etc. Apud Homerum legitur *ἐστρατόωντο* (exercitum locarunt). *οἴκῳ* mss. Herm. *οἴκτῳ* Scal. Schoemann. *οὕτω* Wilam. Qu. *ἔστιν.*

138. *στυγεῖ* mss. *στυγῶ* conj. Weckl. *αἰετῶν* mss. *ἀετῶν* Porson.

Epod. *τόσον περ εὔφρων, καλὰ (Διὸς κόρα),*
δρόσοις ἀέπτοις μαλερῶν τε λεόντων
πάντων τ' ἀγρονόμων φιλομάστοις
θηρῶν ὀβρικάλοισι τερπνά,
τούτων αἴτει ξύμβολα κρᾶναι. 144
ἰήιον δὲ καλέω Παιᾶνα,
μή τινας ἀντιπνόους Δαναοῖς χρονίας ἐχενηΐδας αὔρας
τεύξῃ σπευδομένα θυσίαν ἑτέραν ἄνομόν τιν' ἄδαιτον,

140. *τόσσων περ εὔφρων* M. *τόσον* — F. Fl. *ὅσσων παρ' εὐφρόνων* Dind. *τόσον γὰρ εὔφρων* Fritzsch. *ὅσσον* legitur Eur. Suppl. 59. *ὅσσα* Tro. 785. Soph. Phil. 508. *ὅσσας* Pers. 863. *εὔφρων* mss. *εὔφρον* Keck. Weil. *καλὰ* M. *ἁ καλὰ* Fl. Pauw. *Ἑκάτα* Badham. *ὦ καλὰ* Weil. Keck. *Δαλία* Fritzsch. *καλὰ (Διὸς κόρα)* supplevit Dind. (*ὦ*) *καλὰ* (*Διὸς κόρα*) Weckl. Cf. Suppl. 145. *ἁγνά μ' ἐπιδέτω Διὸς κόρα.* Sed articulum desidero. Qu. *ὦ καλὰ*, aut *ἁ θεά.* Gl. *ἁ καλά.*

141. *δρόσοισιν ἀέλπτοις* M. G. *δρόσοις ἀέπτοις* Fl. B. Casaub. Herm. Ahr. Symmons. prob. Schwerdt. *δρόσοις ἀέπτοισι* F. (Schol. *τοῖς ἕπεσθαι μητρὶ οὐ δυναμένοις.* Similiter Sophocles Oed. R. 17. *οὐδέπω πτέσθαι σθένοντας* infantes dixit.) *δρόσοις ἀλέπτοις* Blom. *δρόσοις ἀάπτοις* Sch. *δρόσοις ἀπέπτοισι* Aur. *δροσοῖσι λεπτοῖς* (?) Pal. Sidg. *δρόσοισι λεπταῖς* Weil. *δρόσοισιν ἀλπνοις* Weckl. Qu. *δρόσοισι λεπταῖς*, vel *δρόσοις ἀπέπτοις* (immaturis), vel *δρόσοισιν ἁπαλαῖς.* Hesychii glossa obscura est, *ἀέλπτοι: δεινοὶ καὶ ἄαπτοι. Αἰσχύλος Πρωτεῖ.* *μαλερῶν ὄντων* M. *μαλερῶν τε λεόντων* correxit Dind. ex Etym. M. p. 377, 37. *Αἰσχύλος ἐν Ἀγαμέμνονι τοὺς σκύμνους τῶν λεόντων δρόσους κέκληκε.* "Ineptit scholiasta, qui non animadverterat *ἀέπτοις* (nam sic legit) nihil aliud esse quam *ἀεπτοῖς*, glossema vocabulis *πτανοῖς κυσὶ πατρὸς* (136.) adscriptum." (Dind.) *μαλερῶν λεόντων* Weckl. *μαλερῶν λειόντων* Ahrens. Keck.

144. *τούτων αἰτεῖ ξύμβολα κρᾶναι* (*κράναι* M.) mss. *ξύμβολα κράναι* (opt., ejecto *τούτων αἰτεῖ*) Dind. *τούτων αἰτεῖ ξύμβολα κρῖναι* Herm. *ταῦτα ξύμβολα κρᾶναι* c. Weckl. Qu. *τὸν πατέρ'* (*Ζῆν'*) *αἴτει ξύμβολα κρᾶναι.* *αἰτεῖ* mss. *αἴτει* Blomf. *αἰνεῖ* Haupt. *αἰτῶ* Sch. *αἴνει* Gilbert. *αἰνεῖ* (assentitur) Lachmann. Campbell. *αἰτεῖ* ut glossema excludunt J. C. Schmitt. Weckl. alii. Scribendum foret potius *αἰτῶ.* Cf. 1. *θεοὺς μὲν αἰτῶ* —. Soph. Tr. 95. *Ἅλιον αἰτῶ.* Qu. *σ' αἰτῶ.* Cf. 146. *καλέω Παιᾶνα.* Post h. v. in M. sequuntur verba *δεξιὰ — φάσματα στρουθῶν,* quae emendata post v. 157. transposuit Dind. *κρᾶναι* Fl. F. *κράναι* M. *φάναι* conj. Pal. Schol. *φάναι.*

146. *ἰήιον δὲ καλέω παιᾶνα* M. *ἰήιον δ' ἐπανακαλῶ Παιᾶν', ἰὴ* Dind. *ἰήιον δὴ καλέω Παιᾶνα* Weckl. *δὲ*] *δὴ* H. Ahr. Weckl.

147. *τεύξῃ*] *τεύξῃς* legisse videtur schol. Addit enim *ὦ Ἄρτεμι.*

149. *χρονίας*] Delet Hart. Annon *χρονίους*? Cf. Sept. 706. *τροπαίᾳ χρονίᾳ* (*χρονίῳ*?). *ἐχενηΐδας* (om. *ἀπλοΐας*) Keck.

150. *ἀπλοίας τεύξῃ* mss. *αὔρας τεύξῃ* Dind. Weckl. *τεύξῃ ἀπλοίας* Enger. prob. Schn. *ἀπλοίας* delet Keck. *τεύξῃ* post *δεισήνορα* transponunt Hart.

νεικέων τέκτονα σύμφυτον (αἰνῶν),
οὐ δεισάνορα· μίμνει γὰρ φοβερὰ παλίνορτος
οἰκονόμος δολία μνάμων μῆνις τεκνόποινος." 155
τοιάδε Κάλχας ξὺν μεγάλοις ἀγαθοῖσιν ἔκλαγξεν
μόρσιμ' ἀπ' ὀρνίθων ὁδίων οἴκοις βασιλείοις,
δεξιὰ μὲν κατάμομφα δὲ φάσματα φαίνων.
τοῖσδ' ὁμόφωνον
αἴλινον αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω. 159

Str. 1. *Ζεὺς, ὅστις ποτ' ἐστὶν, εἰ τόδ' αὐτῷ φίλον κεκλημένῳ,*
οὐκ ἔχω προσεικάσαι, πάντ' ἐπισταθμώμενος 164
πλὴν Διὸς, εἰ τόδε πᾶν ἀπὸ φροντίδος ἄχθος
χρὴ βαλεῖν ἐτητύμως.

Ant. 1. *οὐχ ὅστις πάροιθεν ἦν μέγας, παμμάχῳ θράσει βρύων,*
οὐδὲν εὔξεται πρὶν ὤν· 170

Weckl. *τεύξῃ* mss. *τεύξῃς* Weil. Keck. Recte, opinor. Ad lectionem *τεύξῃς* digitat scholiastae annotatio *ὦ Ἄρτεμι.* *σπευδομένα*] Ex *μαιομένα* (supr. *σπεύδουσα*) fortasse ortum esse suspicatur Weckl. *ἄνομόν τιν'*] *ἀθέμιστον* Schwerdt. *ἄνομον* delet Wilam.

152 b. *σύμφυτον* mss. *σύμφυτον (αἰνῶν)* Dind.

153. *δεισήνορα* mss. *δεισήνορα (φωτὸς)* Herm. *δεισήνορα (κρᾶναι)* Schoemann. Dedi *δεισάνορα.* *παλίνορτος*] *παλινόρσοις* (redeuntibus) Schwerdt. *παλίνορσον* (reducem) Blom. Butler. Cf. Hom. Il. *γ'*. 33. Arist. Ach. 1179.

154. *φοβερὰ*] *δνοφερὰ* conj. Weckl.

156. *ἀγαθοῖς ἀπέκλαγξεν* mss. Leg. *ἀγαθοῖσιν ἔκλαγξεν.* Cf. 201. *χείματος ἄλλο μῆχαρ — μάντις ἔκλαγξεν.* 174. *ἐπινίκια κλάζων.* 1152.

157. *κατάμομφα*] Qu. *κατάμεμπτα.* *στρουθῶν* (*τῶν στρουθῶν* Fl.) mss. *νοσσῶν* Keck. *φαίνων* Dindorf., quem vide in Praef. p. LXXXVIII. *φάσματ' ἀνορθοῦν* Weckl. *φάσματ' Ἀτρείδαιν* Schoemann. *φάσματ' οἰωνῶν* Rauchenstein. *φάσματ' ἐπέμφθη* L. Kayser. *φάσματα κρίνων* Schwerdt. *φάσματ' ἀνάκτων* Storch. *φάσματι δαιτός* conj. Weckl. Interpolatum *στρουθῶν* aliud vocabulum expulit.

158. *τοῖς δ'* mss. *τοῖσδ'* (sic) Casaub.

161. *κεκλημένῳ*] Fort. *καλουμένῳ.*

163. *πάντ' ἐπισταθμώμενος*] Qu. *πάντα δὴ σταθμώμενος.*

165. *Διός. εἰ τόδε μάταν* (sic) F. *τόδε μάταν* mss. *τὸ μάταν* Pauw. *τὸ μάτας* Casaub. *τόδ' ἐμᾶς* Musgr. *τόδ' ἄγαν* Herw. Qu. *τόδε πᾶν.*

167. *οὐδ' ὅστις* mss. *ὅστις μὲν* Kenn. Qu. *οὐχ ὅστις,* vel *ὅστις γάρ.* *ὅστις πάροιθεν*] *ὃς τοῖς πάροιθεν* conj. Pal.

170. *οὐδὲν λέξαι* M. G. B. Fl. *οὐδὲν τι λέξαι* F. *οὐδὲ λέξεται* H. L. Ahrens. Eng. Schn. Dind. Schoem. Weckl. Weil. Dav. Sidg. *οὐ λελέξεται* Franz. Herm. *οὔτε λέξεται* Marckscheffel. *οὐδὲν ἀσχαλᾷ πίτνων* Keck. *νῦν ἂν ἀρκέσαι* conj. Pal.

ὃς δ' ἔπειτ' ἔφυ τριακτῆρος οἴχεται τυχών.
Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλήζων
τεύξεται φρενῶν τὸ πᾶν,

Str. 2. τὸν φρονεῖν βροτοὺς ὁδώσαντα, τὸν πάθει μαθεῖν
θέντα κυρίως ἔχειν.
ἵζει δ' ἀνθ' ὕπνου πρὸ καρδίας
μνησιπήμων πόνος· καὶ παρ' ἄκοντας ἦλθε σωφρονεῖν.
δαιμόνων δέ που χάρις
βίαια σέλμα σεμνὸν ἡμένων.

Ant. 2. καὶ τόθ' ἡγεμὼν ὁ πρέσβυς νεῶν Ἀχαιικῶν,
μάντιν οὔτινα ψέγων,
ἐμπαίοις τύχαισι συμπνέων,
εὖτ' ἀπλοίᾳ κεναγγεῖ βαρύνοντ' Ἀχαιικὸς λεὼς
Χαλκίδος πέραν ἔχων
παλιρρόθοις ἐν Αὐλίδος τόποις·

* Fort. *οὐκ ἂν εὔξαιτ' ἂν πρὶν ὤν*, vel *οὐδὲν εὔξεται —*, vel *οὐκ ἐπαρκέσει παρών*, vel *οὐδὲν ἀρκέσει παρών*, vel *οὐκ ἂν εὔξαιτ' ἐκπεσών*. *πρὶν ὤν*] *τις ὤν* Schoemann. Qu. *τὸ πᾶν*.

174. *Ζῆνα*] Fort. *Ζηνί*. *ἐπινίκια κλάζων*] Fort. *ἐπινίκιον ᾄδων*. *κλάζων* mss. Dedi *κλήζων*. Cf. 631.

176. *ὁδώσαντα*] Fort. *διδάξαντα*, quod a codicum lectione parum differt. *τῷ* (*τῶ* sic M.) *πάθει* mss. *τὸν πάθει* recte Sch. *τῷ παθεῖν μαθεῖν* Arnald. *τὸν πάθη μάθη* Butler. Qu. *καὶ πάθει μαθεῖν*. *μάθος* mss. Correxi *μαθεῖν*.

179. *στάζει δ' ἔν θ' ὕπνῳ* mss. *ἔστακεν δ' ὕπνῳ* Hartung. *θάσσει δ' ἔν θ' ὕπνῳ* Karst. *στηρίζει δ' ὕπνῳ* idem et Weckl. *στάζει δὲ κἀν ὕπνῳ* Eng. *στάζει δ' ἀνθ' ὕπνου* feliciter Emper. *ἀντᾴδει δ' ὕπνῳ* Keck. Qu. *στάζει δεῖμ' ὕπνῳ*. (Cf. Ch. 842. *δειματοσταγές*. Eum. 366.). Vel *στάζει δὲ φρέσιν*. Vel *στάζει δ' ὡς ἰὸς —*. (Cf. 834. *δύσφρων γὰρ ἰὸς καρδίᾳ προσήμενος* etc.) Vel *θάσσει* (*ἵζει*) *δ' ἀνθ' ὕπνου πρὸς καρδίᾳ*. Cf. 14. *φόβος γὰρ ἀνθ' ὕπνου παραστατεῖ*. Ch. 1024. *πρὸς δὲ καρδίᾳ φόβος ᾄδειν ἕτοιμος*.

182. *δέ που —* mss. *δὲ ποῦ —;* Emper. Todt. Weckl. *δ' ἔφυ* Maehly. *βιαίως* mss. *βίαιος* Turn. Schoem. *βίαια* Sch. Haupt. Both. Herm. Gl. F. *βιαίως*: *κραταιῶς*. Cf. Suppl. 820. *φυγάδα — βίαια δίζηνται λαβεῖν*. Qu. *ἄνωθε*.

185. *Ἀχαιικῶν*] Cf. Antiph. 44, 6. *ἐν τοῖς δ' ἐκείνων ἔθεσιν ἴσθ' ἀρχαϊκός* (l. *ἀρχαιικός*). Mnesim. 8, 4. et ad Arist. Nub. 821.

186. *ψέγων*] *ψέγει* conj. Haupt.

190. *πέραν*] Qu. *τόπους*. Si sincera vulgata scriptura est, *πέραν* substantivum esse videtur. *ἔχων*] Leg. *μένων* (sc. in Aulide.) aut *ναίων*.

191. *παλιρρόθοις* mss. *παλιρροίβδοις* Franz. *παλιρρόχθοις* H. L. Ahrens. Dind. Keck. Weckl. *παλιρροθίοις* Margol., coll. Hom. Il. *ε'*. 430. *παλιρρόθιον*

Str. 3. πνοαὶ δ' ἀπὸ Στρυμόνος μολοῦσαι
κακόσχολοι νήστιδες δύσορμοι,
βροτῶν βλάβαι, νεῶν τε καὶ πεισμάτων ἀφειδεῖς,
πολυμμήκη χρόνον τιθεῖσαι
τριβᾷ κατέξαινον ἄνθος Ἄργους·
ἐπεὶ δὲ καὶ πικροῦ
χείματος ἄλλο μῆχαρ
βριθύτερον πρόμοισιν
μάντις ἔκλαγξεν προφέρων Ἄρτεμιν, ὥστε χθόνα βάκ-
τροις ἐπικρούσαντας Ἀτρείδας δάκρυ μὴ κατασχεῖν,

Ant. 3. ἄναξ ὁ πρέσβυς τόδ' εἶπε φωνῶν
"βαρεῖα μὲν κὴρ τὸ μὴ πιθέσθαι,
βαρεῖα δ', εἰ τέκνον δαΐξω, δόμων ἄγαλμα,
μιαίνων παρθενοσφάγοισι
ῥοαῖς πατρῴους χέρας πρὸ βωμοῦ.

δέ μιν αὖθις | πλῆξεν ἐπεσσύμενον (sc. κῦμα). Apoll. Rhod. I. 1170. ἄλλο δὲ πόντος | κλύζε παλιρροθίοισι φέρων (sc. τρύφος), neminem autem epitheto παλίρροθος usum esse admoneus. Confer παλίρρυτος, παλίρρους. Qu. ἁλιρρόθοις. Cf. Suppl. 262.

192. μολοῦσαι] Fort. πνέουσαι.

195. βροτῶν ἄλαι mss. Qu. βροτῶν βλάβαι (vel ἄχη). Hom. Od. μ'. 286. ἐκ νυκτῶν δ' ἄνεμοι χαλεποί, δηλήματα νηῶν. —. ναῶν καὶ mss. νεῶν τε καὶ Pors.

196. παλιμμήκη M. G. πολυμήκη (supr. παλιμ.) Fl. Dedi πολυμμήκη.

197. τρίβῳ mss. τριβᾷ Blom. Cf. 465. et ad 391. Schol. διατριβῇ. Aliud est τρίβος, semita, via. Ἀργείων mss. Ἄργεος Sch. Ἄργοις Herm.

198. ἐπεὶ δὲ καὶ] ἔπειτα καὶ Blom. Qu. ἔπειτα δή. καὶ] Ad ἄλλο referendum.

200. πρόμοισι mss. πρόμοισιν Casaub.

203. ἔκλαγξε mss. ἔκλαγξεν Porson.

205. ἄναξ δ' — mss. ἄναξ — Karst. Et sic schol. τὸ ἑξῆς, ἐπεὶ δὲ πικροῦ, ἄναξ ὁ πρέσβυς τόδ' εἶπεν. Particulam requiri propter praecedens Ἀτρείδας sine causa opinatur Weckl. Haec continuantur a v. 184. καὶ τόθ' ἡγεμὼν —. τόδ' mss. τότ' Stanl. τάδ' Karst. Cf. 409. τόδ' ἐννέποντες δόμων προφῆται. εἶπε φωνῶν] Fort. εἶπε φάσκων, coll. Soph. Aj. 757. ἔφη λέγων. Arist. Av. 472. ἔφασκε λέγων.

206. πειθέσθαι (sic) M. πιθέσθαι Turn.

210. πέλας πατρῴους χέρας ῥεέθροις Herm. χέρας πατρῴους πέλας βωμοῦ ῥεέθροις conj. Franz. ῥεέθροις M. ῥείθροις F. Porson. Blom. Weckl. ῥοαῖς (et πρὸ βωμοῦ) recte Schoem. Keck. Weckl. βωμοῦ πέλας mss. πέλας βωμοῦ Pal. πρὸ βωμοῦ Schoemann. Keck. Lindau. Sidgw. Cf. ad v. str. 197.

τί τῶνδ' ἄνευ κακῶν;
πῶς λιπόναυς γένωμαι
ξυμμαχίας θ' ἁμάρτω;
παυσανέμου γὰρ θυσίας παρθενίου θ' αἵματος ὀρ-
γᾷ περιοργεῖ σφ' ἐπιθυμεῖν θέμις. εὖ γὰρ εἴη."

Str. 4. ἐπεὶ δ' ἀνάγκας ἔδυ λέπαδνον,
φρενὸς πνέων δυσσεβῆ τροπαίαν
ἄναγνον ἀνίερον, τόθεν
τὸ παντότολμον φρονεῖν μετέγνω.
βροτοὺς θρασύνει γὰρ αἰσχρόμητις
τάλαινα παρακοπὰ
πρωτοπήμων. ἔτλα δ' οὖν

212. *τί πῶς λιπόναυς τε* mss. *πῶς λιπόναυς* Tricl. Fort. *μῶν —; λιπόναυς*] *φιλόπαις* conj. Karst.

214. Legerim *ξυμμαχίας θ' ἁμάρτω*. Ita etiam Rauchenstein. *ἁμαρτών*] *ἐμαυτοῦ* Margol.

216. *ὀργᾷ* M. *αὐδᾷ* F. *ὀργᾷ περιόργως* mss. *ὀργᾷ περιοργῶς* Blom. Dind. "Verba autem *ὀργᾷ — θέμις* vitii sunt suspecta. Schol. *ὀργᾷ: τῷ τρόπῳ. γρ.* (sic Herm. pro *γὰρ*) *αὐδᾷ, ὁ μάντις δηλονότι.*" (Dind.) *ὀργᾷ περιόργῳ σφ'* bene Bamberg. Schoem. Schn. Sidgw. *ὀργᾷν περιόργως τ' ἐπιθυμεῖν θέμις* Casaub. *ὀργᾶν περιοργῶς* (*στόλον ἀνδρῶν*) *θέμις* conj. Weckl. *ἀρχοὺς* — Todt. Glossema esse *ἐπιθυμεῖν* (ad *ὀργᾶν* adscriptum) animadvertit jam Auratus. Suspectum vero *περιοργῶς* post *ὀργᾷ* (pro quo *αὐδᾷ* v. l. in schol.). Qu. *περιθύμως* (gl. *περιοργῶς*). Cf. Cho. 454. *τὰ δ' αὐτὸς ὄργα μαθεῖν* Epithetum *περιοργὴς* occurrit Thuc. IV. 130. Obscura est scholiastae annotatio, *τῷ τρόπῳ γὰρ αὐδᾷ ὁ μάντις δηλονότι.* *ἐπιθυμεῖν*] *ὀργᾷ* reposuerit Meinekius Vind. Arist. p. 72., coll. glossa Hesychiana, *ὀργᾷ: ἐπιτεταμένως ἐπιθυμεῖ.* *εὖ γὰρ εἴη* mss. *εὖ κυροίη* conj. Enger. *οὐκ ἂν εἴη* Rhode. Fort. *εὖ τάδ'* (aut *δ' ἂν*) *εἴη*. Cf. 349. *τὸ δ' εὖ κρατοίη*. Suppl. 454. *γένοιτο δ' εὖ*.

218. *ἐπεὶ δ' — ἔρκος*] *ἔπειτ'* — Stanl. De dispositione hujus chori agit Elmsleius in Ed. Rev. XXXIII. p. 221.

219. *δυσσεβῆ*] *δυσσεβοῦς* Karst.

220. *τόθεν* mss. *ὅθεν* Casaub. *τόθ' ἓν* conj. Heusd. Schöne. Qu. *τότ' ἐς* (vel *αὖ*) *τὸ παντότολμον* —, vel *τόθ' ὥστε* —, vel *τόθ' ἕν τι* (Ch. 554. *ἕν τι ποιεῖν*) —.

221. *φρονεῖν μετέγνω*] Qu. *φρενῶν μετέστη*.

222. *βροτοῖς* mss. *βροτοὺς* Schutz. Dind. etc. *βροτοῖς. θρασύνει* — (sic) plura apographa. Schol. M. *ὅθεν ἔγνω πάντας τοὺς ἀνθρώπους τολμᾶν.* Quae ad *βροτοὺς* adscripta esse constat.

223. *παρακοπὰ τάλαινα* (et *περιπετῆ πέπλοισι* 233.) Heimsoeth.

224. *δ' οὖν*] Malim *γοῦν* aut *γάρ*.

θυτῆρ γενέσθαι θυγατρός, γυναικοποίνων πολέμων
ἀρωγὰν
καὶ προτέλεια ναῶν.

Ant. 4. *λιτὰς δὲ καὶ κληδόνας πατρῴους*
παρ' οὐδὲν αἰῶνα παρθένειόν τ'
ἔθεντο φιλόμαχοι βραβῆς.
φράσεν δ' ἀόζοις πατὴρ μετ' εὐχὰν
δίκαν χιμαίρας ὕπερθε βωμοῦ
πέπλοισι περιπετῆ
παντὶ θυμῷ προνωπῆ
λαβεῖν ἀέρδην στόματός τε καλλιπρῴρου φυλακᾷ
κατασχεῖν
φθόγγον ἀραῖον οἴκοις

Str. 5. *βίᾳ χαλινῶν τ' ἀναύδῳ μένει.*
κρόκου βαφὰς δ' ἐς πέδον χέουσα
ἔβαλλ' ἕκαστον θυτήρων ἀπ' ὄμματος βέλει φιλοίκτῳ,
πρέπουσά θ' ὡς ἐν γραφαῖς προσεννέπειν
θέλουσ'· ἐπεὶ πολλάκις
πατρὸς κατ' ἀνδρῶνας εὐτραπέζους

226. *ἀρωγὰν*] *ἀρωγὸν* Turn. *ἀρωγὰ* Stanl.

229. *αἰῶνα παρθένειον* mss. *αἰῶνα παρθένειόν τ'* Cas. Elmsl. *αἰῶ τε παρθένειον* O. Müller. Dav. Weckl. (Cf. Cho. 350. *ἐπίστρεπτον αἰῶ* (*αἰῶνα* mss.) *κτίσας*. Bekk. Anecd. p. 363, 17. *αἰῶ: τὸν αἰῶνα κατὰ ἀποκοπὴν Αἰσχύλος εἶπεν.* *αἴαγμα* (lamentationem) Karsten. (*αἴαγμα* non semel usurpat Euripides, et *αἰακτὸς* apud Aeschylum occurrit.) *ὥραν τε παρθενείαν* conj. Weckl.

231. *ἀόζοις*] *ἐν ὄσσοις* (gl. *διὰ νεύματος τῶν ὀφθαλμῶν*) F.

236. *φυλακὰν κατασχεῖν* mss. Qu. *φυλακᾷ κατασχεῖν* (cum Blom. et Karst.), vel *φύλακας* (subj. custodes, custodientes, et sic Sch. Keck. Maehly). *φυλακὰν* (subjectum) Karst. Weckl. *φυλακὰν* (acc. cogn.) — Sidg. Cf. Pers. 591. *οὐδ' ἔτι γλῶσσα βροτοῖσιν ἐν φυλακαῖς* (*φυλακᾷ?*)· *λέλυται γὰρ λαὸς ἐλεύθερα βάζειν.* Conferri non debet Eur. Tro. 194. *τὰν παρὰ προθύροις φυλακὰν κατέχουσα.*

239. Cf. Hec. 556—559. Dobraeus *χέουσα* explicat defluere sinens, et infulas cum Butlero intelligit. *χέουσα*] *χέουσ' ὧδ'* Herm. *χέουσ' ἄδ'* Kenn. *χέουσα δ'* (et *βαφὰς ἐς*) Schwerdt. Qu. *δικοῦσα*, vel *βαλοῦσα*, vel *καθεῖσα*. Sed cf. Hom. Il. 5, 734. *πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ' οὔδει.*

241. *πρέπουσά θ' ὡς*] *πρέπουσά γ'* Pauw. *πρέπουσα χ' ὡς* conj. Heusd. Qu. *πρέπουσα δ' ὡς*, vel *πρέπουσ' ὅπως* (Stanl. Wilam.).

243. *κατ' ἀνδρῶνας εὐτραπέζους ἔμελψεν*] *κατ' ἀνδρῶνα συντραπέζους ἔθελξεν* (hoc cum Nabero) T. Halbertsma. Sed cf. Cho. 712. *ἀνδρῶνας εὐξένους δόμων.*

ἔμελψεν, ἁγνᾷ ϑ' ἀταύρωτος αὐδᾷ πατρὸς
φίλου τριτόσπονδον εὔποτμον
παιᾶνα φίλως ἐτίμα.

Ant. 5. *τἀνϑένδε δ' οὔτ' εἶδον οὔτ' ἐννέπω·*
τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι.
Δίκα δὲ τοῖς μὲν παϑοῦσιν μαϑεῖν ἐπιρρέπει, τὸ
μέλλον δ'
ἔστ' ἂν γένηται πάροιϑε χαιρέτω·
ἴσον δὲ τῷ προστένειν.

244. *ἔμελψεν*] *ἔϑελξεν* Naber. Ipse malim *ἔτερψεν* (Mein.). *ἁγνὰ — αὐδὰ* M. *ἁγνᾷ — αὐδᾷ* Fl. F. Schutz. Haupt. Dind. Heusde. Schwerdt. Heyse. Cf. Suppl. 693. *ἁγνῶν τ' ἐκ στομάτων φερέσϑω φῆμα φιλοφόρμιγξ.* Eum. 287. *ἀφ' ἁγνοῦ στόματος.* Fort. *ἀγανᾷ — αὐδᾷ.* Cf. Mnesim. III. 570. *αὐλῶν ἀγαναὶ φωναί.* *ἀταύρωτος*] *ἅτ' αὐλῳδὸς* Heyse. Sed addendum fuisset *οὖσα.*

245. *τριτόσπονδον*] Qu. *φιλόσπονδον.* Cf. Cho. 289. *οὔτε κρατῆρος μέρος | εἶναι μετασχεῖν, οὐ φιλοσπόνδου λιβός.* Sed Soph. Fr. 375. *Ζεῦ πανσίλυπε καὶ Διὸς σωτηρίου | σπονδὴ τρίτου κρατῆρος.* *εὔποτμον*] *εὔποτ*μον* M. *εὔποτμόν τ'* Elmsl. Delet H. Ahrens. Mendosum videtur. Requiritur, ni fallor, epithetum quale est *εὔφϑογγον, εὔυμνον,* aut *εὔμουσον.*

246. *αἰῶνα* mss. *παιῶνα* Hart. *παιᾶνα* Eng. Keck. Pal. Dind. Karst. Dav. Sidg. *παιᾶνι* Heusde. *ἐτίμα*] Qu. *ἄειδε.*

247. *τὰ δ' ἔνϑεν* mss. Leg. *τἀνϑένδε δ'* aut *τἀντεῦϑεν.* Cf. Soph. Oed. R. 1267. *δεινὰ τἀνϑένδ' ἦν ὁρᾶν.* Eur. Or. 1272. Noli *τὰ δ' ἔνϑεν* pro *τὰ δ' ἐντεῦϑεν* dictum accipere, namque *ἔνϑεν* relativum (unde) est. Cf. ad Eum. 403.

248. *τέχναι — ἄκραντοι*] Qu. *τέχνα — ἄκραντος.*

250. *Δίκα — ἐπιρρέπει*] Cf. 176. *Δίκα — ἐπιρρέπει.* Fort. *δίκᾳ*, jure. Idem suadet Haupt. *παϑοῦσιν μαϑεῖν*] *μαϑοῦσιν παϑεῖν*? Matth. Dind.

251. *τὸ μέλλον ., τὸ δὲ προκλύειν ἐπιγένοιτ'* (*ἐπεὶ γένοιτ'* Fl. V. F.) *ἂν κλύοις προχαιρέτω* M. (verbis *τὸ δὲ προκλύειν* in fine versus post breve intervallum colore viridiore et, ut videtur, ab alia manu scriptis," Dind.). *τὸ δὲ προκλύειν ἐπεὶ | γένοιτ' ἂν κλύοις προχαιρέτω* Fl. *τὸ δὲ προκλύειν* om. F. *τὸ προκλύειν, πρὶν γένοιτο, χαιρέτω* Heims. Davies. Verba [*τὸ δὲ προκλύειν*] recentioris manus esse et atramento nigriore scripta esse monet W. W. Goodwin, qui *τὸ μέλλον δ', ἐπεὶ γένοιτ', ἂν κλύοις· πρὸ χαιρέτω* (?) corrigit. Ita etiam H. L. Ahrens. Keck. *τὸ μέλλον δὲ προκλύειν ἢ γένοιτο χαιρέτω* Enger. *τὸ μέλλον δ' ἐπεὶ γένοιτ' ἂν κλύοις. τὸ μέλλον δ', ἐπεὶ οὐ γένοιτ' ἂν λύσις, προχαιρέτω* Elmsl. Pal. Bonus evadet sensus, si correxeris *τὸ μέλλον δ', ἔστ' ἂν* (donec) *γένηται, πάροιϑε χαιρέτω,* vel *τὸ μέλλον δ', ὄφρ' ἂν* (Eum. 339. *τοῖς ὁμαρτεῖν ὄφρ' ἂν γᾶν ὑπέλϑῃ* —) —, vel *τὸ μέλλον δέ, πρὶν γενέσϑαι* —. Connecte *τὸ μέλλον* cum *χαιρέτω.* Verba *τὸ δὲ — κλύοις* ut interpolatoris supplementum ejicit Dind. Qu. *ἕως ἂν ἔλϑῃ, πάροιϑε χαιρέτω.* Suspectum mihi est *προχαιρέτω.* *ἂν κλύοις*] *ἂν ἡ λύσις* V. Turn. *ἀνηλύσις* Ald. Qu. *ἔστ' ἰδεῖν.* *ἐπιρρέπει*] Fort. *ἀεὶ φέρει.*

τορὸν γὰρ ἥξει σύνορθρον αὐγαῖς.
πέλοιτο δ' οὖν τἀπὶ τούτοισιν εὐπραξία·
θέλει τόδ' ἄγχιστον Ἀπίας
γαίας μονόφρουρον ἕρκος.
ἥκω σεβίζων σόν, Κλυταιμνήστρα, κράτος·
δίκη γάρ ἐστι φωτὸς ἀρχηγοῦ τίειν
γυναῖκ' ἐρημωθέντος ἄρσενος θρόνου.
σὺ δ' εἴ τι κεδνὸν εἴτε μὴ πεπυσμένη
εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς
κλύοιμ' ἂν εὔφρων, οὐ δὲ σιγώσῃ φθόνος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

εὐάγγελος μέν, ὥσπερ ἡ παροιμία,
ἕως γένοιτο μητρὸς εὐφρόνης πάρα.
πεύσει δὲ χάρμα μεῖζον ἐλπίδος κλύειν·
Πριάμου γὰρ ᾑρήκασιν Ἀργεῖοι πόλιν.

254. *συνορθὸν* M. B. G. *σὺν ὀρθὸν* G. Ald. *σύναρθρον* Fl. V. F. Cant. Sch. Herm. Blomf. Butl. Symm. (qui explicat, chiming with, proprie jointed with) Franz. *σύνορθρον* Well. Herm. Dind. Eng. Weckl. *σύνωρον ἄταις* Ahrens. *μάταις σύνωρον* Keck. *σύνορτον* conj. Heusd. (coll. *παλίνορτος, θέορτος, νέορτος,* et *συνορμένοις* 429.). *σύνορθρον* Well. Schn. Weckl. *ἀΰταῖς* M. F. Vict. *αὐταῖς* B. G. Ald. Blomf. *αὐτᾷ* (sc. *δίκᾳ*) Elmsl. *αὐγαῖς* Herm. Well. Dind. Eng. Schn. *ἄταις* vel potius *ἄτᾳ* Butler. *αὐδαῖς* suadet Heusde. Cf. 1123. *βίου δύντος αὐγαῖς.*

255. *πέλοιτο*] Fort. *γένοιτο.* Cf. 225. *εὔπραξις* mss. *εὖ πρᾶξις* Haupt. Herm. Keck. Eng. Karst. Lobeck. Mihi neque *εὔπραξις* neque *εὖ πρᾶξις* verum videtur. Qu. *εὐδαίμον'* (Eur. El. 1358. *εὐδαίμονα πράσσει*), aut *εὐπραξίᾳ* (om. *ὡς*). *θέλει τόδ'* —, aut *ἁ πρᾶξις* (Hense) *ἂν θέλει* —. Forma *εὐπραξία* legitur Sept. 224. Thuc. III. 39. *δυσπραξία* Pr. 966. Eum. 769. *εὐπραγία* Thuc. I. 84. IV. 65. V. 46. VII. 46. *κακοπραγία* II. 60. III. 39. IV. 79. VIII. 2. *εὔπραξις* vox monstrosa est et proculdubio corrupta.

256. *ἄγχιστον* mss. *εὔπιστον* Schoemann. *ἀρχηγὸν* (ex v. 259.) Mein. *ἄρχιστον* (?) malit Dind. Qui de sensu quidem recte judicat. Confer quae statim sequuntur Coryphaei verba.

261. *εἴτε* (corr. ex *εἰ τὸ*) M. *εἴ τι* Aur. Weckl. Verum videtur *εἴτε.* Cf. Cho. 852. Eum. 292. Suppl. 186. Ag. 491. 843. Cho. 683. Arist. Nub. 1243. *ἀλλ' εἴτ' ἀποδώσεις εἴτε μὴ τὰ χρήματα | ἀπόπεμψον ἀποκρινάμενος.*

262. *εὐαγγέλοισιν ἐλπίσιν* (*ἐλπίσειν* M.) mss. Mendosa haec videntur. *εὐαγγέλοισιν ἐλπίσιν*] Qu. *εὐαγγέλοισι κληδόσιν.* Ch. 853. *εἴτ' ἐξ ἀμαυρᾶς κληδόνος λέγει μαθών.* Hujusmodi aliquid scripsisse poetam suspicor, *σὺ δ' εἴτε κεδνὰς εἴτε μὴ πεπυσμένη | εὐαγγέλους τε κληδόνας θυηπολεῖς.*

263. *οὐδὲ σιγώσῃ φθόνος* mss. vulg. Scrib. *οὐ δὲ* —. Et sic Thiersch.

ΧΟ. πῶς φής; πέφευγε τοὔπος ἐξ ἀπιστίας.
ΚΛ. Τροίαν Ἀχαιῶν οὖσαν· ἦ τορῶς λέγω;
ΧΟ. χαρά μ' ὑφέρπει δάκρυον ἐκκαλουμένη.
ΚΛ. εὖ γὰρ φρονοῦντος ὄμμα σου κατηγορεῖ.
ΧΟ. ἦ γάρ τι πιστόν ἐστι τῶνδέ σοι τέκμαρ;
ΚΛ. ἔστιν· τί δ' οὐχί; μὴ δολώσαντος θεοῦ.
ΧΟ. πότερα δ' ὀνείρων φάσματ' εὐπειθῆ σέβεις;
ΚΛ. οὐ δόξαν ἂν σέβοιμι βριζούσης φρενός.
ΧΟ. ἀλλ' ἦ σ' ἐπίανέν τις ἄπτερος φάτις;
ΚΛ. παιδὸς νέας ὣς κάρτ' ἐμωμήσω φρένας.
ΧΟ. πόσου χρόνου δὲ καὶ πεπόρθηται πόλις;
ΚΛ. τῆς νῦν τεκούσης φῶς τόδ' εὐφρόνης λέγω.
ΧΟ. καὶ τίς τόδ' ἐξίκοιτ' ἂν ἀγγέλων τάχος;

270. δάκρυον] Fort. δάκρυ' (Is. Voss.).

271. εὖ γὰρ φρονοῦντος] εὖ γὰρ φρονοῦντά σ' — K. Kontos. Qu. εὖ γὰρ (γοῦν) φρονεῖν σε τοὔμμα σου —.

272. τί γὰρ τὸ πιστόν — mss. ἦ γάρ τι — Karst. Dind. Heyse. Weckl. Herw. (Recte. Cf. 1366. ἦ γὰρ τεκμηρίοισιν —; 276. Ita apte quadrat responsum ἔστιν· τί δ' οὐχί;) τί γάρ; τὸ πιστόν conj. Haupt. τί γὰρ τὸ πιστόν; ἔστι — Prien. Sidg. Cf. Soph. Oed. C. 1488. τί δ' ἂν θέλοις τὸ πιστὸν ἐμφῦσαι φρενί; Sed construenda videntur πιστὸν et τέκμαρ.

274. εὐπειθῆ (εὐπειθεῖ M. pr.) mss. εὐπιθῆ Blom. Dind. etc. εὐπιθὴς olim Blom. Verum est εὐπειθῆ (facile persuadentia, Angl. plausible). Cf. Ch. 259. σήματ' εὐπειθῆ. Suppl. 623. εὐπειθεῖς στροφάς. Eur. Andr. 820. τῶν ἠθάδων | φίλων νέοι μολόντες εὐπειθέστεροι. Contra passivum est εὐπιθής, Pr. 333. Ag. 982. σέβεις] λέγεις Stanl.

275. οὐ δόξαν] οὐκ ὄψαν' conj. Weckl., οὐδὲ requiri admonens. Cf. Ch. 534. οὔτοι μάταιον ἀνδρὸς ὄψανον πέλει. Qu. οὐδ' ὄψιν. λάβοιμι mss. Leg. σέβοιμι. Idem suadet Margol.

276. ἐπίανεν] Qu. ἐπῆρε νοῦν. ἄπτερος φάτις] ὄρνις ἄπτερος Keck. ἄπτερος] Suspectum. ἄκριτος H. Köbert. Qu. εὔπτερος (bene ominata).

278. ποίου χρόνου δὲ καὶ πεπόρθηται πόλις;] Leg. πόσου χρόνου —; Cf. Eur. Iph. A. 717. ποῖον (πόσον Monk, "sana poscente ratione") χρόνον | ἔτ' ἐκμετρῆσαι χρὴ πρὸς Ἴλιον στόλον; Hel. 111. πόσον χρόνον (l. πόσου χρόνου) γὰρ διαπεπόρθηται πόλις; 773. πόσον χρόνον — ἐφθείρου; Or. 415. πόσον χρόνον (πόσου χρόνου?) δὲ μητρὸς οἴχονται πνοαί; Soph. Oed. R. 558. πόσον τιν' ἤδη δῆθ' ὁ Λάϊος χρόνον | ἄφαντος ἔρρει; Oed. C. 581. ποίῳ (sc. χρόνῳ) γὰρ ἡ σὴ προσφορὰ δηλώσεται; Arist. Ach. 83. πόσου δὲ τὸν πρωκτὸν χρόνου ξυνήγαγε; Av. 920. ταυτὶ σὺ πότ' ἐποίησας; ἀπὸ ποίου (πόσου Bentl. Dind. etc.) χρόνου; Eupol. 181, 1. πόσου χρόνου γὰρ συγγεγένησαι Νικίᾳ; Et sic Karst. Weckl. etc. καὶ πεπόρθηται] Fort. διαπεπόρθηται.

280. καὶ τίς τόδ' ἐξίκοιτ' ἂν ἀγγέλων τάχος;] τίς εἰς τόδ' ἐξίκοιτ' ἂν

ΚΛ. Ἥφαιστος Ἴδης λαμπρὸν ἐκπέμπων σέλας.
φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς
ἔπεμπεν· Ἴδη μὲν πρὸς Ἑρμαῖον λέπας
Λήμνου· μέγαν δὲ πανὸν ἐκ νήσου τρίτον
Ἀθῷον αἶπος Ζηνὸς ἐξεδέξατο·
ὑπερτελής δὲ, πόντον ὥστε νωτίσαι,
ἰσχὺς πορευτοῦ λαμπάδος πρὸς ἡδονὴν

ἀγγέλλων (Stanl.) *τάχους;* Naber. Fort. *τίς τοῦδ' ἂν ἐξίκοιτ' ἂν* (Anglice attain, reach) *ἀγγέλων τάχους;* Cf. Prom. 810. *ἕως ἂν ἐξίκῃ | καταβασμόν.* 792. *ἔςτ' ἂν ἐξίκῃ | πρὸς Γοργόνεια πεδία.* Ag. 303. *ὄρος τ' ἐπ' Αἰγίπλαγκτον ἐξικνούμενον.* Cho. 1033. *τόξῳ γὰρ οὔτις πημάτων προσίξεται.* Herod. II. 34. *ὅσον ἡμεῖς ἱστορέοντες — οἷοί τ' ἐγενόμεθα ἐξικέσθαι.* Isocr. 80 B. *νῦν δὲ οὐκ ἐφικνοῦμαι τοῦ μεγέθους αὐτῶν* (*τῶν πραγμάτων*). Dem. p. 361, 25. *ὅλως δὲ οὐδ' ἂν εἷς ἐφικέσθαι τῷ λόγῳ δύναιτο τῶν ἐκεῖ κακῶν ὄντων.* *ἀγγέλων*] *ἀγγέλλων* Stanl.

282. *φρυκτὸν*] *φρυκτῷ* H. L. Ahrens. *ἀγγέλου* mss. *ἀγγάρου* Casaub. Canter. ex Eust. ad Od. p. 1384, 26. et Suida. Adde Etym. M. p. 7, 18. Anecd. Bekk. p. 212, 5. p. 325, 13. et Suid. v. *ἄγγαροι.* Idem error codicum est Herod. III. 126. Sed cf. 588. *νύχιος ἄγγελος πυρός.* *πυρὸς*] *πρόσω* Margol.

283. *ἔπεμπεν*] Malim *ἔπεμψεν.* *Ἑρμαῖον* apogr. *Ἕρμαιον* M.

284. *Λήμνου,* (*προσαιθρίζουσα — πεύκης·*) Heims. Davies., sc. *πεύκης* a v. 288. translato. *φανὸν* mss. *πανὸν* Casaub. etc. Correctum ex Athenaeo XV. 700 E. Ammonius tragicorum *πανὸς, φανὸς* comicorum esse statuit. Secundum Photium antiquior forma est *πανὸς,* recentior *φανός.*

285. Post h. v. lacunam indicant Casaub. Thiersch. Schneid. vv. 300. 301. inserit Wecklein. vv. 300 sq. interponit Thiersch.

286. *ὑπερτελής τε* mss. *ὑπερτελεῖ δὲ* Blom. Leg. *ὑπερτελὴς δέ.* *νωτίσαι*] *φωτίσαι* (to illuminate) Musgr. Haupt. Heyse. Fortasse recte, sed nil temere mutandum. Cf. Soph. Fr. 348. *Ἄθως σκιάζει νῶτα Λημνίας βοός.* Eur. Hel. 774. *πόντου 'πὶ νώτοις — ἐφθείρου.* Iph. T. 1444. *ἀκύμονα | Πόντου τίθησι νῶτα.* Herc. 361. *ἐπινωτίσας* (i. e. *ἐπισκεπάσας*). Trag. adesp. 455, 1. *καὶ πρὸς μὲν αὐγὰς ἡλίου χρυσωπὸν ἦν | νώτισμα θηρός* Hesych. *ἐνώτισε· τὰ νῶτα περιεσκέπασεν.* *ὥστ' ἐνώτισεν* Butler. *ὡς ἐνώτισεν* Karst.

287. *ἰσχὺς — λαμπάδος*] Cf. 296. *σθένουσα λαμπὰς δ' οὐδέπω μαυρουμένη* etc. *ἰσχὺς*] *ἰχθῦς* (!) H. L. Ahrens. Franz. Donaldson. *πεύκῃ* Eng. Ipse tentabam *λιγνὺς* (fuligo) —. Sed nil mutandum. Connecte *ἰσχὺς πεύκης.* Similiter *στομάτων ἰσχὺς* dicitur Cho. 721. Et sic *πειθὼ μολπᾶν ἀλκὰ* dicitur supra 106. *πορευτοῦ λαμπάδος πρὸς ἡδονὴν*] Gl. F. *τοῦ ἐκ διαδοχῆς πορευομένου πυρσοῦ καὶ ἡδονὴν φέροντος.* *πορευτοῦ* non ab *πορευτὸς* sed ab *πορευτὴς* frustra deducit F. D. Morice, coll. *ἀγρευτής, θηρευτής, διφρευτής, παιδευτής,* etc. Cf. ad Prom. 592. et Lobeck. ad Aj. 224. *πρὸς ἡδονὴν πεύκῃ*] *πρὸς ἐκδοχὴν* — Sch. Enger. Heyse. *προσήνυσεν* Elmsl. Hart. *προήνυσεν* Campbell. *προηλάθη* Schoem. *πρὸς ἐκδοχὴν* Pearson. Sed cf. Pr. 492. *χροιὰν τίνα | ἔχοντ' ἂν εἴη δαίμοσιν πρὸς ἡδονήν.*

πεύκη τὸ χρυσοφεγγὲς ὥς τις ἥλιος
σέλας παρηγγάρευσε Μακίστου σκοπῷ·
ὁ δ' οὔτι μέλλων οὐδ' ἀφρασμόνως ὕπνῳ
νικώμενος παρῆκεν ἀγγέλου μέρος·
ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ' Εὐρίπου ῥοὰς
Μεσσαπίου φύλαξι σημαίνει μολόν.
οἱ δ' ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω
γραίας ἐρείκης θωμὸν ἅψαντες πυρί.
σθένουσα λαμπὰς δ' οὐδαμῶς μαυρουμένη,
ὑπερθοροῦσα πεδίον Ἀσωποῦ, δίκην
φαιδρᾶς σελήνης, πρὸς Κιθαιρῶνος λέπας
ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρός.
φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο
φρουρὰ πλέον καίουσα τῶν εἰρημένων.

288. *πεύκη* mss. *πεύκης* Schutz. Herm. Dind. *ἦξεν* Davies (coll. Pers. 469. *παραγγείλας ἦϊξε*). *πέμπει* Eng. Sidg. *ἐπέσυτο* (pro *πεύκη τὸ*) Keck. *προύβη* Heyse. *ἤπειχτο* (?) Weckl. Verbum aliquid quale est *ἔβη, ἔπτη, ἤρθη*, aut *ὤφθη* substituerit Peile. Nil mutandum: *πεύκη* est *ἰσχὺς πορευτοῦ λαμπάδος*.

289. *παραγγείλασα* mss. *παρηγγάρευσε* Bamb Dind. Mein. Sed cf. 294. *οἱ δ' ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω*. 316. *ἀνδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοί*. 480. *φλογὸς παραγγέλμασιν*. Corrigendum suspicor *παραγγέλλουσα* vel potius *παρήγγειλ' ἐς τὸ Μακίστου λέπας*. Cf. 298. *πρὸς Κιθαιρῶνος λέπας*.

Μακίστου σκοπάς] De hoc monte aut loco nihil, opinor, traditum est. Dignus est qui conferatur alius nostri locus Fr. 280. *καμίνου μάκιστον — σέλας*. Unde hic *μάκιστον* reponendum suspiceris. *σκοπάς* M. G. Fl. F. *σκοπᾶς* v. l. ap. Steph. *σκοπαῖς* Turn. *σκοποῖς* Sch. conj. Haupt. Cf. 309. *ἀστυγείτονας σκοπάς*. Suppl. 713. Ion. trag. 47. *πυργείαν* (*πυργήρη*?) *σκοπήν*. Strab. XVII. 18. *ἡ Περσέως σκοπή*. Malim cum Hermanno, Dindorfio et Weilio *σκοπῷ* (speculatori). Cf. 293. *φῶς — Μεσσαπίου φύλαξι σημαίνει μολόν· | οἱ δ' ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω*. Tentabam etiam *Μακίστου 'ς σκοπάς*. Post h. v. *ἥκει προσαιθρίζουσα πόμπιμον φλόγα* inseri vult Heusde. Cf. ad 301.

290. *ἀφρασμόνως* mss. *ἀφραδμόνως*, ut vetustiorem formam, malint Pearson. Blomf. ad Pers. 423. Cf. 1401.

291. *παρῆκεν*] *προῆκεν* Keck. *ἀγγέλου*] *ἀγγάρου* Blom.

295. *ἐρείκης* M. *ἐρίκης* Weckl. sec. Herodian. II. 511. 1. Non assentior.

296. *οὐδέπω* mss. Leg. *οὐδαμῶς*.

297. *Ἀσωποῦ*] *Ὠρωποῦ* Turn.

300. 301. Post 285. transponit Weckl. Cf. ad 286.

300. *τηλέπομπον*] *τηλέπρεπτον* Keck. *τηλέφαντον* Stadtmüller.

301. *πλέον καίουσα τῶν εἰρημένων* M. *προσαιθρίζουσα πόμπιμον φλόγα* Dind. (et Schn.) ex Hesychii glossa, *προσαιθρίζουσα πόμπιμον φλόγα: πρὸς*

λίμνην δ' ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος,
ὄρος τ' ἐπ' Αἰγίπλαγκτον ἐξικνούμενον
ὤτρυνε θεσμὸν μὴ παρίεσθαι πυρός.
πέμπουσι δ' ἀνδαίοντες ἀφθόνῳ μένει
φλογὸς μέγαν πώγωνα, καὶ Σαρωνικοῦ
πορθμοῦ κάτοπτον πρῶν' ὑπερβάλλειν πρόσω
φλέγουσαν· εἶτ' ἔσκηψεν ἔςτ' ἀφίκετο

τὸν αἰθέρα ποιοῦσα, ὥστε ἄνω πέμπεσθαι τὴν φλόγα, et collatis similibus Aeschyli verbis οὐρανίζειν et προσαυρίζειν (Fr. 402.). Probat Cobet. Librorum lectionem idem imbecilli interpolatoris commentum versum defectum utcunque explentis esse arbitratur. Utique codicum lectio inepta est. Qu. πλέον φαίνουσα —. τῶν εἰρημένων] Quam quae memoratae sunt. Tentabam φρουρὰ πυρὸς καίουσα παμπληθῆ πυράν.

302. 303. Post 299. transponit Wecklein.

302. φάος] θορὸν conj. Karsten.

303. δ' mss. Dedi τ'.

304. θεσμὸν μὴ] θεσμὸν εὖ Todt. χαρίζεσθαι mss. ῥαχίζεσθαι (dissecari, interrumpi) Dind. in Lex. χρονίζεσθαι (ne tardaretur) Martin. Franz. Schoem. Pal. (cf. Sept. 54.) μηχανήσασθαι Margol. παρίεσθαι (i. e. negligi) Musgr. Malim παριέναι (negligere). Cf. 291. ὁ δ' — παρῆκεν ἀγγέλου μέρος. Cho. 925. παρεὶς τάδε (his neglectis). 1032. παρέντι δ' (ταῦτα) οὐκ ἐρῶ τὴν ζημίαν. Aperte vitiosum est χαρίζεσθαι.

305. ἀφθόνῳ μένει] Vitiosum. Corrigendum forsan ἀφθόνῳ χερὶ, ut legitur Eur. Med. 612., vel ἀφθόνῳ ξύλῳ. Vulgatam tuetur v. Heusde coll. 233. παντὶ θυμῷ. Plat. Resp. II. 371 E. ἰσχὺς ἱκανὴ ἐπὶ τοὺς πόνους.

306. καὶ] χὠς Karsten. τοῦ Franz. In καὶ offendit etiam Butler.

307. πορθμοῦ] Fort. πόντου, vel κόλπου. Eur. Hipp. 1200. πρὸς πόντον ἤδη κειμένη Σαρωνικόν. Sed cf. Pers. 69. πορθμὸν — Ἕλλας. 722. 799. Soph. Ant. 1145. στονόεντα πορθμόν. κάτοπτρον mss. κάτοπτον Canter. ex schol. (qui per κατόψιον explicat). Sch. Karst. Keck. Heyse. Eodem sensu κατόψιος Eur. Hipp. 30. πέτραν παρ' αὐτὴν Παλλάδος, κατόψιαν | γῆς τῆσδε, ναὸν Κύπριδος καθείσατο. Confer ἄποπτος Soph. Oed. R. 762. El. 1489. Schol. F. τὸ κάτοπτρον τοῦ πορθμοῦ, ἤτοι τὸ ἀντικρὺ κείμενον καὶ κατ' ὀφθαλμοὺς ὡς εἰπεῖν τοῦ πορθμοῦ. Qu. κάτοπτρον, ὥσθ' (pro πρῶν') ὑπερβάλλειν —. ὑπερβάλλειν] ὑπερβάλλει Pearson. Sch. Kenn. ὑπερβάλλων (et φλέγουσαν εἶτ') Hart. Post h. v. versum intercidisse putat Blom. πρῶν'] Fort. ὥσθ'.

308. φλέγουσαν· εἶτ' ἔσκηψεν] φλέγουσα, κᾆτ' ἔσκηψεν Sch. Karst. φέγγουσαν αἴγλην (Hart.) ἧξεν Keck. φλέγουσα δᾴς δ' — Rauchenstein. φλέγουσαν] Quasi praecessisset φλόγα (λαμπάδα). Sed corrigendum, ni fallor, φλέγουσιν, ut paulo ante πέμπουσι. εἶτ' — εἶτ' mss. εἶτ' — ἔςτ' recte Stanl. Sch. al. ἔςτ' — εἶτ' Schn. ἡ δ' — ἔςτ' Weil. Cf. Pr. 457. ἔςτε δή σφιν — ἔδειξα. 656. ἔςτε δὴ πατρὶ | ἔτλην γεγωνεῖν. Cum conjunctivo Pr. 376. ἔςτ' ἂν Διὸς φρόνημα λωφήσῃ χόλου. 697. 792. ἔςτ' ἂν ἐξίκῃ | καταβασμόν. Eum. 449.

Ἀραχναῖον αἶπος, ἀστυγείτονας σκοπάς·
κἄπειτ' Ἀτρειδῶν ἐς τόδε σκήπτει στέγος
φάος τόδ' οὐκ ἄπαππον Ἰδαίου πυρός.
τοιοίδε τοί μοι λαμπαδηφόρων νόμοι,
ἄλλος παρ' ἄλλου διαδοχαῖς πληρούμενοι·
νικᾷ δ' ὁ πρῶτος καὶ τελευταῖος δραμών.
τέκμαρ τοιοῦτο σύμβολόν τέ σοι λέγω
τἀνδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοί.
ΧΟ. *θεοῖς μὲν αὖθις, ὦ γύναι, προσεύξομαι·*
λόγους δ' ἀκοῦσαι τούσδε κἀποθαυμάσαι
διανεκῶς θέλοιμ' ἂν οὓς λέγεις πάλιν.
ΚΛ. *Τροίαν Ἀχαιοὶ τῇδ' ἔχουσ' ἐν ἡμέρᾳ.*
οἶμαι βοὴν ἄμικτον ἐν πόλει πρέπειν.
ὄξος τ' ἄλειφάρ τ' εἰ 'γχέαις ταὖτ' ἐς κύτος,

310. *τόδε*] *τόγε* M. Post h. v. exciderunt vv. 311—1066. in M.

312. *τοιοίδ' ἕτοιμοι* (*ἕτυμοι* Fl.) mss. *τοιοίδε τοί μοι* Sch. Haupt. Verr. Lectionem *τοιοίδ' ἕτοιμοι*, ut "promptae speculatorum alacritati melius convenientem" praefert Butler. Cf. 348. *τοιαῦτά τοι* —. 644. *τοιῶνδε μέντοι* —. 886. *τοιάδε μέντοι σκῆψις* —. Soph. Fr. 114. *τοιαῦτά τοί σοι πρὸς χάριν — λέγω.*

313. 314. Transponit Davies, ut syntaxis recte procedat.

313. *ἄλλος παρ' ἄλλου*] *ἄλλον παρ' ἄλλου* Ahrens. *ἄλλου παρ' ἄλλου* malit Enger. *παρ' ἄλλος ἄλλου* Weil. *πληρούμενοι*] *τηρούμενοι* Keck. Cf. Eur. Iph. T. 298. *πολλοὶ δ' ἐπληρώθημεν ἐν μικρῷ χρόνῳ.*

314. *καὶ*] *χὠ* Sch. Schneid. Versum delet Maehly. Nil mutandum. V. comm. Gl. F. *ὁ ἀρξάμενος ἐν Ἴδῃ καὶ σημήνας ἡμῖν τοῖς ἐν τῷ Ἀραχναίῳ.*

315. *τέκμαρ τοιοῦτο*] *τοιοῦτο τέκμαρ* olim Dind. Fortasse recte. *τε σοὶ* vulg. Scrib. *τέ σοι.*

316. *ἀνδρὸς* mss. et vulg. Dedi *τἀνδρός.*

317. Personae nota carent mss. *μὲν αὖθις*] *μὲν αὐτίκ'* Karst. Qu. *μεταῦθις* (by and by). Idem suadet Heimsoeth.

319. *διηνεκῶς* mss. *διανεκῶς* Blomf. etc. Atticum esse *διανεκεῖ*, Hellenicum *διηνεκεῖ* docet Moeris p. 129. Homerica forma est *διηνεκέως*, Attica *διανεκῶς.* Sic Plat. Hipp. maj. 301 A. *διανεκῆ σώματα.* Anaxandr. 6, 1. *τὰ μὲν διανεκῆ* (supr. *η*) | *σώματος μέρη.* Nec *διηνεκῶς* nec *διηνεκὴς* alibi apud tragicos legitur. Aeschylo placere potuit forma Homerica *διην* —. *ὡς λέγεις* B. *ὡς λέγοις* Fl. F. *εἰ λέγοις* Blom. Weckl. *οὓς λέγεις* recte Both. Herm. Dind. Karst. Connectendum autem *πάλιν* cum *ἀκοῦσαι.*

320. Nulla personae nota in mss.

321. *ΚΛ.* praef. mss. *οἶμαι βοὴν* mss. Sed requiri videtur particula. Qu. *οἶμαι δ' ἄμικτον ἐν πόλει πρέπειν βοήν.*

322. *ἄλειφά τ'* (*ἀλείφατ'* V.) mss. *ἄλειφάρ τ'* Pearson. Haupt. Cf. vv. obsoleta *ὄνειραρ* (unde *ὀνείρατα* Cho. 929.) et *πεῖραρ* (unde *πείρατα*). Cf. Hom,

διχοστατοῦντ' ἂν οὐ φίλως εἰς ἓν ῥέοι.
καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα
φθογγὰς ἀκούειν ἔστι συμφορᾶς διπλῆς.
οἱ μὲν γὰρ ἀμφὶ σώμασιν πεπτωκότες
ἀνδρῶν κασιγνήτων τε καὶ φυτάλμιοι
παίδων γέροντες οὐκέτ' ἐξ ἐλευθέρου
στόματος ἀποιμώζουσι φιλτάτων μόρον·

Od. γ'. 408. *λευκοὶ ἀποστίλβοντες ἀλείφατος.* Herod. II. 87. 94. Cur non *ἔλαιον* posuerit poeta difficile dictu est, quum praesertim *ὄξος* et *ἔλαιον* saepe una commemorentur. Vox nihili est *ἄλειφα.* *ἐκχέας* mss. Well. Heusd. (coll. Eum. 653. *αἷμα ἐκχέας πέδῳ.*) *ἐγχέας* Cant. *εἰ 'γχέαις* Heyse. Cf. Hippocr. II. 142. *εἴ τις ὕδωρ καὶ ἄλειφαρ ἐς χαλκεῖον ἐγχέαι.* *ταὐτῷ κύτει* mss. Leg. *ταὔτ' ἐς κύτος.*

323. *οὐ φίλως προσεννέποις* mss. *οὐ φίλω* — Aur. Staul. Dav. Weckl. *οὐ φίλως προσόντ' ἴδοις* Maehly. *οὐ φιλοῦντε προσβλέποις* Margol. *οὐ φίλως πρὸς ἓν ῥέποι* (*ῥέοι* melius Maehly) Heyse. Qu. — *οὐ φίλως εἰς ἓν ῥέοι,* vel *διχοστατοῖ τ' ἂν κοὐ φίλως εἰς ἓν ῥέοι.* Cf. Ch. 299. *πολλοὶ γὰρ εἰς ἓν συμπίτνουσιν ἵμεροι.* Eur. Ion. 1016. *εἰς ἓν κραθέντ' — ἰχῶρα.* Tro. 1155. *εἰς ἓν ξυνελθόντ'.* Her. 404. *πάντας εἰς ἓν συναλίσας.* Herc. 489. *εἰς ἓν ἐνεγκοῦσα.* Fr. 246, 2. *ταὖτ' εἰς ἓν ἐλθόντ'* etc. Phoen. 465. *εἰς ἓν συνελθών.* Iph. A. 1127. *πάντες εἰς ἓν ἥκετε.* Iph. T. 1016. *συνθεὶς τάδ' εἰς ἕν.* Hel. 1551. *εἰς ἓν ἦν.* Optativus *ῥέοι* est Eur. Suppl. 520. Vel *οὐ φίλως συνόντ'* (*μιχθέντ', μιγέντ'*) *ἴδοις.* Vix sanum est *προσεννέποις* (compellares). Ad rem cf. 650. *ξυνώμοσαν γάρ, ὄντες ἔχθιστοι τὸ πρὶν | πῦρ καὶ θάλασσα —.*

324. *καὶ*] *ὡς* Maehly. Nihil opus.

326. *πεπτώκοτες*] *πεπτωκότων* Aur.

327. *φυταλμίων παῖδες γερόντων*] *φυτάλμιοι παίδων γέροντες* Heyse. Weil., coll. Herod. I. 87. *φυταλμίων πατέρων γερόντων* Zakas. Recte. Qu. *φυταλμίων πολιῶν γερόντων.*

328. *γερόντων*] *τεκόντων* Herm. Quod ferri nequit. *παῖδες γέροντες* Aur. (ut *νέοι ἠδὲ γέροντες* apud Homerum). *παῖδες γέροντές τ'* Bamberg. *γερόντων* recte tuetur Davies, "quum et senes interfici oporteat, ut nemo nisi pueri mulieresque supersint." "The poet wishes to remind us of such scenes as the death of Priam." Qu. *τοκήων* (ut in 728.). *ἐξ ἐλευθέρου δέρης* mss. *ἐλευθέρας* scribendum foret, si sincerum est *δέρης.* Sed corrigendum *ἐξ ἐλευθέρου στόματος.* Femininum est *ἐλευθέρα,* Sept. 74. Eum. 603. Quae forma restituenda est Eur. El. 868. Cf. Pr. 180. *ἐλευθεροστομεῖς.* Suppl. 948. *ἐξ ἐλευθεροστόμου γλώσσης.* Praeterea minime hic convenit *δέρης,* quum non *ἐκ δέρης* sed *ἐκ στόματος* lugeant homines. Frequens autem est locutio *ἐλεύθερον στόμα* et *ἐλευθεροστομεῖν.* Itaque glossema esse *δέρης* suspicari licet. Verae lectionis indicium est neutrum *ἐλευθέρου.* De collis captivorum devinctis *δέρης* accipit Paleius.

329. *δέρης* mss. Conferunt Eur. Or. 41. *οὔτε σῖτα διὰ δέρης ἐδέξατο.* Quidni

τοὺς δ' αὖτε νυκτίπλαγκτος ἐκ μάχης πόνος
νήστεις πρὸς ἀρίστοισιν ὧν ἔχει πόλις
τάσσει, πρὸς οὐδὲν ἐν μέρει τεκμήριον,
ἀλλ' ὡς ἕκαστος ἔσπασεν τύχης πάλον.
ἐν δ' αἰχμαλώτοις Τρωϊκοῖς οἰκήμασι
ναίουσιν ἤδη τῶν ὑπαιθρίων πάγων
δρόσων τ' ἀπαλλαγέντες, ὥς τ' εὐδαίμονες
ἀφύλακτον εὐδήσουσι πᾶσαν εὐφρόνην.
ἢν δ' εὖ σέβωσι τοὺς πολισσούχους θεοὺς
τοὺς τῆς ἁλούσης γῆς θεῶν θ' ἱδρύματα,
οὔ τἂν ἑλόντες αὖθις ἀνθαλοῖεν ἄν.
ἔρως δὲ μή τις πρότερον ἐμπίπτῃ στρατῷ

στόματος (ut in gloss.)? Cf. Suppl. 948. *ἐξ ἐλευθεροστόμου γλώσσης.* Pr. 180. *ἄγαν δ' ἐλευθεροστομεῖς.*

331. *νήστεις* F. *νῆστις* Fl. Pal. *νήστισι* B. V. *ὧν ἔχει πόλις*] *ὧν γέμει πόλις* frustra Naber. Qu. *ὧν ἔχοι* (*ἔχῃ*) *πόλις.*

333. Post *πάλον* plene pungunt Pauw. Eng. Kenn. Dav. Sidg. Recte.

334. *ἐν* mss. *ἐν δ'* Pauw. Eng. Weil. Keck. Sidg. Recte. *αἰχμαλώτοις Τρωϊκοῖς* mss. Qu. *αἰχμαλώτων Τρωϊκῶν.* *οἰκήμασιν* mss.

335. *ναίουσιν*] Qu. *ναίοντες.* *τῶν*] *τῶν θ'* Stanl. Haupt. *τῶν δ'* Sch.

336. *ἀπαλλαγέντες* Fl. F. *ἀπαλλαχθέντες* Weckl. *ὡς δυσδαίμονες* mss. *ὡς δὲ δαίμονες* Herm. *ὡς δ' εὐδαίμονες* Stanl. conj. Haupt. Weckl. *ὥστ' εὐδαίμονες* Halm. *ὥστ' ἀδείμονες* (Herm.) Todt. Leg. *ὥς τ' εὐδαίμονες.* Cf. 1304. *οὐδεὶς ἀκούει ταῦτα τῶν εὐδαιμόνων.* Ch. 700. *ξένοισιν ὧδ' εὐδαίμοσι.* Herod. I. 133. *οἱ εὐδαίμονες αὐτῶν βοῦν καὶ ὄνον — προτιθέαται.* Qu. *ὡς εὐδαίμονες*

338. *εἰ δ' εὐσεβοῦσι τοὺς* — mss. *εἰ δ' εὖ σέβουσι τοὺς* Scal. Blom. Peil. *εἰ δ' εὖ σέβουσι πρὸς* — Valck. Leg. *ἢν δ' εὐσεβῶσιν εἰς* —, *ἢν δ' εὐσεβῶσι περὶ* —. Jure distinguntur inter *εὐσεβεῖν* (pie se gerere) et *εὖ σέβειν* (rite revereri). Cf. Sept. 596. *δεινὸς ὃς θεοὺς σέβει.* Suppl. 671. *Ζῆνα μέγαν σεβόντων.* Eum. 1019. *μετοικίαν δ' ἐμὴν εὖ σέβοντες* (*εὐσεβοῦντες* mss.). 545. *τοκέων σέβας εὖ προτίων.* Soph. Ant. 166. *σέβοντας εὖ θρόνων ἀεὶ κράτη.* 730. *ἔργον* (*πρέπον?*) *γάρ ἐστι τοὺς ἀκοσμοῦντας σέβειν;* | *ΑΝΤ. οὐδ' ἂν κελεύσαιμ' εὐσεβεῖν εἰς τοὺς κακούς.* Eur. Phoen. 1331. *χθόνιον εὐσεβεῖν* (*εὖ σέβειν* Valck.) *θεόν.*

340. *οὐκ ἄν γ' ἑλόντες* Fl. F. *οὐκ ἀνελόντες* V. *οὔ τἂν ἑλόντες* Herm. Recte. *ἂν θάνοιεν* V. *αὖ θάνοιεν* Fl. F. *ἀνθαλοῖεν* Aur. *ἀνθαλῷεν* Blom.

341. *μή τις πρότερον* (*πρῶτον* V.) mss. *μὴ πονηρὸς* Herw. Maehly, quum non habeat *πρότερον* quo referatur. Mendosum videtur *πρότερον.* *ἐμπίπτῃ* (*ἐμπίπτοι* corr.) Fl. *ἐμπίπτει* B. V. *ἐμπίπτοι* F. Dind. Requiri videtur optativus. Cf. 947. *μή τις — βάλοι φθόνος* (*με*). Sed cf. 131. *μή τις ἄγα — κνεφάσῃ* etc. 377. *ἔστω δ' ἀπήμαντον* —. Eum. 864. *θυραῖος ἔστω πόλεμος.* Suppl. 663. *ἥβας δ' ἄνθος ἄδρεπτον ἔστω.* 686. *εὐμενὴς δ' ὁ Λύκειος ἔστω πάσᾳ νεολαίᾳ.*

πορθεῖν ἃ μὴ χρή, κέρδεσιν νικωμένους·
δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας
θεοῖς δ' ἀναμπλάκητος εἰ μόλοι στρατός,
κάμψαι διαύλου θάτερον κῶλον πάλιν
γένοιτ' ἄν, εἰ πρόσπαια μὴ τεύχοι κακὰ
ἐγρηγορὸς τὸ πῆμα τῶν ὀλωλότων.
τοιαῦτά τοι γυναικὸς ἐξ ἐμοῦ κλύεις·
τὸ δ' εὖ κρατοίη μὴ διχορρόπως ἰδεῖν.
πολλῶν γὰρ ἐσθλῶν τήνδ' ὄνησιν εἱλόμην.
ΧΟ. γύναι, κατ' ἄνδρα σώφρον' ἐμφρόνως λέγεις.
ἐγὼ δ' ἀκούσας πιστά σου τεκμήρια
θεοὺς προσειπεῖν εὖ παρασκευάζομαι.
χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων.

342. πορθεῖν] ποθεῖν Vict. νικωμένους] Fort. νικωμένοις.

343 sq. Hoc ordine disponit Wecklein, 343. 345. 344. 347. 346. 348.

344—347. Legebantur hoc ordine, κάμψαι — | θεοῖς — | ἐγρηγορὸς — | γένοιτ' — κακά. Transposuit Ahrens.

344. θεοῖς] Fort. θεῶν. θεοῖς δ' ἀναμπλάκητος recte mss. θεοῖσι δ' ἀμπλάκητος Stanl. Cf. Soph. Tr. 120. ἀλλά τις θεῶν αἰὲν ἀναμπλάκητον (ἀπλάκητον mss.) Ἅιδα σφε δόμων ἐρύκει. Gl. F. ἀναμπλάκητος: ἀναμάρτητος.

346. γένοιτ' ἂν] παύσαιτ' ἂν A. Ludwig. Fort. ὑπνοῖτ' ἂν aut κοιμῷτ' ἄν. Alitur hic vitium.

347. ἐγρήγορον mss. ἐγρηγορὸς Porson. παρήγορον olim Kirch. Cf. Eum. 709. ἐγρηγορὸς φρούρημα γῆς. τὸ πῆμα] Qu. μήνιμα. μὴ τύχοι mss. μὴ τεύχοι Franz. H. Ahrens. Dind. Weckl. πη τεύχοι Enger.

348. τοιαῦτά τοι mss. τοιαῦτα τἂν Blomf. ad Sept. 179. κλύοις Fl. F. κλύεις B. Martin. Dobr. Dind. Recte. Cf. 1046. Ch. 686. κλύεις τὰ πραχθέντ'.

349. τὸ δ' εὖ] τὸ δ' αὖ malit Herw., coll. 317. Frustra. Cf. Eur. Herc. 694. τὸ γὰρ εὖ — ὑπάρχει. Fr. 285, 16. τοῦ γὰρ εὖ τητώμενος etc. Arist. Ach. 661. τὸ γὰρ εὖ μετ' ἐμοῦ. ἰδεῖν] Fortasse corruptum.

350. πολλῶν γὰρ ἐσθλῶν mss. πάντων γὰρ — Zakas. πολλῶν γὰρ ἄθλων conj. Schn. Heyse. τὴν mss. τήνδ' Herm. Dind. εἱλόμην] εὔχομαι Herw. Per προέκρινα, ἠθέλησα interpretatur Suidas. I. e. exopto, in votis habeo. Qu. εἰδόμην (video), vel ἔλπομαι, vel ἔσθ' ὁρᾶν, vel ᾐσθόμην, vel ηὑρόμην.

351. ΑΓΓ. praef. mss. εὐφρόνως mss. et vulg. Dedi ἐμφρόνως, i. e. prudenter. Idem suadent Spanh. Haupt.

353. εὖ mss. αὖ Pal. Dind.

354. ἄτιμος] Qu. ἄσημος aut ἄδηλος. εἴργασται] Corrigendum forsan εἴργεσθαι ex schol. metrico ad 258. Vel χάρις γὰρ οὐ σμικρά 'στ' ἀπηλλάχθαι πόνων.

ὦ Ζεῦ βασιλεῦ καὶ νὺξ φιλία
μεγάλων κόσμων κτεάτειρα,
ἥτ' ἐπὶ Τροίας πύργοις ἔβαλες
στεγανὸν δίκτυον, ὡς μήτε μέγαν
μήτ' οὖν νεαρόν τιν' ὑπερτελέσαι
μέγα δουλείας
γάγγαμον, ἄτης παναλώτου.
Δία τοι ξένιον μέγαν αἰδοῦμαι,
τὸν τάδε πράξαντ', ἐπ' Ἀλεξάνδρῳ
τείνοντα πάλαι τόξον, ὅπως ἂν
μήτε πρὸ καιροῦ μήθ' ὑπὲρ αὐτὸν
σκήψῃ βέλος ἠλιθιωθέν.

355. *ΧΟ.* praef. mss.

359. *μήτ' οὖν*] Fort. *μήτ' αὖ.* *νεαρῶν* mss. *νεαρόν* Keck. R. Klotz.

360. *μέγα δουλείας*] Haec delent Schutz. et R. Klotz.

361. *ἄτης παναλώτου* mss. *ἄτης πανάλωτον* Pearson. Haupt. *ἄτην πανάλωτον* c. Weckl. Sed Pollux X. 132. vulgatam agnoscit. Epithetum *πανάλωτος* melius cum *δίκτυον* convenit quam cum *ἄτη*: sed, quum *δουλείας* substantivum sit, non adjectivum, post *γάγγαμον* recte virgula distinguere videtur Dind. Cf. Pr. 1078. *εἰς ἀπέραντον δίκτυον ἄτης*. Sept. 315. *ῥίψοπλον ἄταν*. 687. *δορίμαργος ἄτα*.

363. *ἐπ' Ἀλεξάνδρῳ*] Desidero aut particulam conjunctivam aut articulum. Qu. *τὸν τάδε πράξαντ'* (vel *πέμψαντ'*) *ἐπ' Ἀλεξάνδρῳ· | τείνει δὲ πάλαι τόξον, ὅπως ἂν — σκήψῃ* etc.

364. *τείνοντα πάλαι τόξον, ὅπως ἂν* mss. Qu. *τε πάλαι τείνοντα τὸ τόξον, ὅπως —.* *τείνοντα*] *τείναντα* Aur. et (*πάλιν*) Blom. *τείνοντα πάλαι* (*τε τὸ*) *τόξον, ὅπως* Herwerden. *ὅπως ἂν — σκήψειεν* mss. Soloecum est *ὅπως ἂν — σκήψειεν.* Qu. *ἵν' ἔς νιν —*, vel *τόξ', ἵν' ἐπ' αὐτόν.* Cf. 510. Vel (*τὸν*) *τείνοντα πάλαι τόξον, ὅπως* (om. *ἂν*) | *μήτε —.* Vel *ἐπ' Ἀλεξάνδρῳ τ'* | *ἰθύνοντα πάλαι τόξον, ὅπως —.* De *ὅπως ἂν* cum optativo cf. Thuc. VII. 65. Herod. I. 75. 99. Redde, in order that he might hurl.

365. *ὑπὲρ ἄστρων* mss. *ὕπερ ὥραν* Enger. *ὑπεραῖρον* Enger. Keck. *ὑπὲρ αἶσαν* Kenn. Herw. *ὑπὲρ ἄστρον* malit Heusde. *ὕστερον αὖ* probabiliter Herw. Mendosa videtur vulgata. Itaque propono *ὑπὲρ αἶσαν*, vel *ὑπὲρ αὐτόν* (*καιρὸν*, cf. Prom. 507. *καιροῦ πέρα*), vel *μήτε παρ' αἶσαν.* Cf. Suppl. 79. *παρ' αἶσαν.* Quod si forte recte se habet *ὑπὲρ ἄστρων*, cf. 576. *ὑπὲρ θαλάσσης καὶ χθονὸς ποτώμενα* (*ἔπη*).

366. *βέλος ἠλίθιον σκήψειεν* mss. *σκήψῃ βέλος ἠλιθιῶσαν* Pors. (melius *ἠλιθιωθὲν* Butler.) *βέλος ἠλιθιοῦν σκήψειεν* Dobr. Locum manifesto corruptum integrum reddes, si corrigas *σκήψῃ βέλος ἠλιθιωθέν* (irritum redditum). Cf. Pr. 1061. *μὴ φρένας ὑμῶν ἠλιθιώσῃ βροντῆς μύκημ' ἀτέραμνον.* Pind. P. III. 21. *ἠλίθιος χόλος.* Ita versus innumerus et elumbis sanabitur, et

Str. 1. *Διὸς πλαγὰν ἔχουσιν εἰπεῖν·*
πάρεστι τοῦτό γ' ἐξιχνεῦσαι.
ἔπραξαν ὡς ἔκρανεν. οὐκ ἔφα τις
θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν
ὅσοις ἀθίκτων χάρις
πατοῖθ'· ὁ δ' οὐκ εὐσεβής.
πέφανται δ' † οὖσ' ἄνους

soloecismus *ὅπως ἂν σκήψειεν* tolletur. Ita etiam *ἄστρα* pro *ἄστρων* legi poterit in v. prox. Cum hoc versu paroemiaco cf. Sept. 826. *πόλεως ἀσινεῖ σωτῆρι* et Suppl. 8. *ψήφῳ πόλεως γνωσθεῖσαι.* Qui et ipsi fortasse vitio laborant. In anapaesticis Aeschyleis non eandem esse legis metricae severitatem quae in Sophocleis et Euripideis obtinet monuit Butler. *σκήψειεν* mss. *σκεδάσειεν* Both. et V. D. in Class. Journ. III. 288. Hic ait: "Equidem saltem non licuisse credo ut in fine versus paroemiaci spondaeus pro anapaesto poneretur. Loquor de puris anapaestorum systematibus." Cf. ad 983. Sept. 832. Pers. 32. Soph. Oed. R. 1311. [Fort. *ὅπως — σκήψει,* coll. 847.]

367. "*Διὸς πλαγὰν ἔχουσιν*", *εἰπεῖν* | *πάρεστιν τοῦτο κἀξιχνεῦσαι* Blom. Boiss. et (*τοῦτό τ' ἐξ.*) W. Headlam. Qu. *Διὸς πλαγὰν ἔχουσι δεινάν.* *ἔχουσαν* (*ἔχουσ'* corr.) Fl. *ἔχουσιν* F. *ἔχοις ἂν* Ahrens. Karst. Keck. Weckl. Schwerdt. *ἔχειν νιν εἰπεῖν πάρεστιν* O. Hense.

368. *πάρεστι τοῦτό γ'* (aut *τοῦτ'*) *ἐξιχνεῦσαι* mss. *πάρεστί που τόδ' ἐξιχνεῦσαι* conj. Ahrens. *πάρεστι* mss. *παρέστιν* Hart. Eng. Weil. Schwerdt. Sidg. (et *προβούλου* in v. ant. 386.) Weckl. *τοῦτό γ'* F. *τοῦτ'* Fl. Margol. *τοι τόδ'* Karst. *δ' οὖν τόδ'* Weckl.

369. *ὡς ἔπραξεν ὡς* mss. *ἔπραξαν ὡς* Franz. Herm. Eng. Boiss. *ἔπραξεν* (sc. Paris) *ὡς* Schwerdt. Herm. Weckl. *ἔκρανεν* mss. *ἔκραναν* Enger. *ἔχρῆν νιν* conj. Davies. Qu. *ἔδρασαν.* Vel *ἔπραξεν ὡς ἔπραξεν.* Cf. 1288. *εἶδον Ἰλίου πόλιν* | *πράξασαν ὡς ἔπραξεν.* 67. *ἔστι δ' ὅπη νῦν ἔστι.* Eum. 679.

370. *ἀξιοῦσθαι μέλειν*] Vix placet medium *ἀξιοῦσθαι.* Qu. *ἀξιοῦν τημελεῖν.* Sic Eur. Iph. T. 311. *σώματός τ' ἐτημέλει.* Iph. A. 731. *παρθένους* (*παρθένων?*) *τε τημέλει.* Sed Eum. 425. *φονεὺς γὰρ εἶναι μητρὸς ἠξιώσατο.* 367. *Ζεὺς — πᾶν ἔθνος τόδε λέσχας ἃς ἀπηξιώσατο.*

374. *πέφανται δ' ἐγγόνους* (*ἐκγόνους* sup. in Fl.) *ἀτολμήτων Ἄρη* mss. *πέφανται δ' ἔγγυος ἀτολμήτως* (impotenter) *ἄρης* Schwerdt. *πέφανται δ' ἐκτίνουσα τόλμα τῶν Ἄρη* — Hart. Sidg. *πέφανται δ' ἔργον οὖσα τόλμη τῶν Ἄρη πνεόντων* — Margol. (*τῶν Ἄρη* etiam Heyse, Maehly, Verrall.) Verba corrupta. Fort. *πέφανται δ' οὖσ' ἄνους* (stulta, vana) *ἁ τόλμα τῶν Ἄρη* —, vel *πέφανται δ' ἐγγενὴς Ἐρινὺς τῶν Ἄρη πνεόντων* —, vel *πέφανται δ'* – ◡ *οὖσα τόλμη τῶν* —. (Cf. 593. *πλαγκτὸς οὖσ' ἐφαινόμην.*) Vel *πέφηνε δ'* —. Cf. v. ant. 392. *ἐγγόνους* (*κ* supr.) F. *ἐγγόνοις* Scal. Stanl. Haupt. Herm. *ἐκγόνοις* Both. Fritzsch. *ἐγγενὴς* (et *Ἄρης* pro *ἄρη*) Karst. Dav. *ἀγχίνους* conj. Wecklein. *ἐγκονοῦσ'* Dippe. Sonny. *ἔκγονος — ἀρὰ* (pernicies) Bamberg. Requiri videtur epithetum aliquid vana, futilis significans. Dele, "Qu. – ◡ (*ὄγκος?*) *οὖσα* —."

ἀ τόλμα τῶν Ἄρη
πνεόντων μεῖζον ἢ δικαίως,
φλεόντων δωμάτων ὑπέρφευ
ὑπὲρ τὸ βέλτιστον. ἔστω δ' ἀπήμαντον, ὥστ' ἀπαρκεῖν
εὖ πραπίδων ἔχοντι.
οὐ γάρ ἐστιν ἔπαλξις
πλούτου πρὸς κόρον ἀνδρὶ
λακτίσαντι μέγαν Δίκας βωμὸν εἰς ἀφάνειαν.
Ant. 1. *βιᾶται δ' ἁ τάλαινα πειθώ,*
προβουλόπαις ἄφερτος ἄτας.
ἄκος δὲ πᾶν μάταιον. οὐκ ἐκρύφθη,
πρέπει δὲ φῶς αἰνολαμπές, σίνος·

375. *ἀτολμήτων ἄρη* mss. *ἀτολμήτως ἄρη* Bamberg. *ἀτολμήτῳ θράσει* Weil. Keck. *ἀτόλμητον ἄρη* conj. Haupt. Cf. Pind. Isthm. VII. 11. *ἀτόλματον Ἑλλάδι μόχθον.* Dedi *ἀ τόλμα τῶν Ἄρη.* *Ἄρη*] *Ἄρης* Fritzsch. Weckl.

376. *πνεόντων μεῖζον ἢ δικαίως*] Qu. *πνεόντων μεῖζον* (vel *μείζον'*) *ἢ δίκαιον* (Voss.). Cf. Eur. Tro. 1277. *ὦ μεγάλα δή ποτε πνέουσα* etc.

378. *ὑπὲρ τὸ βέλτιστον* mss. *ὅπερ* — Herm. Schwerdt. Schn. *μέτρον τὸ βέλτιστον* Weil. prob. Dind. *ὑπὲρ τὸ βέλτιον* conj. Weckl. *ἐπεὶ τὸ βέλτιστόν ἐσθ', ὧδ' ἀπήμαντον* Todt. Postulatur aliquid *ὑπὲρ τὸ μέτριον* significans. Qu. *μέτρον δὲ βέλτιστον.* *ἔστω δ' ἀπήμαντον*] Haec vitio laborant. Qu. *ἔστω δ' ἀεὶ πλοῦτος* (*χρήμαθ'*), vel *ἔστω δ' ἐμοὶ μοῦνον,* vel *ἔστω δ' ἅλις μοῦνον.* *ἔστω*] *εἴη* requirit Blom. Sed cf. Suppl. 663. 686. Qu. *ἀεί.*

379. *ὥστ' ἀπαρκεῖν*] *ὥστε κἀπαρκεῖν* Tricl. *ὥστ' ἀπαρκέσαι* (del. *εὖ*?) Wilam. Qu. — *ἔστι τἀπαρκοῦν* —.

380. *εὖ πραπίδων λαχόντα* mss. *εὖ πραπίδων λαχόντι* Aur. Sch. Weckl. Leg. *εὖ πραπίδων ἔχοντι* (Hart.). Cf. ad Arist. Lys. 1125. *αὐτὴ δ' ἐμαυτῆς οὐ κακῶς γνώμης ἔχω.* Eur. Hipp. 462. *κάρτ' ἔχοντας εὖ φρενῶν.* Lyric. incert. apud Plut. Mor. p. 504 D. *κἀκεῖνον γὰρ ἐγώ φαμι ἰσοπλοκάμων* (*ἰοπλ.*?) *Μοισᾶν εὖ λαχεῖν* (*ἔχειν*?). Infra 802. *εὖ πραπίδων οἴακα νέμων.*

381. *οὐ γὰρ ἔστιν*] *οὐκ ἔστιν γὰρ* Butler. Cf. v. ant. 399.

384. *μεγάλα* mss. *μέγαν* Cant. *μάταν* Keck. *εἰς ἀφάνειαν*] Malim *εἰς ἀσέβειαν* (i. e. *ἀσεβῶς,* ut *εἰς εὐτέλειαν,* etc.).

386. *προβουλόπαις* mss. *προβούλου παῖς* Hart. Keck. Sidg. Weckl. *πρόβουλος, παῖς* Karst. Weil. Dav. (qui "Res manifesta.") Schwerdt. Rauchenstein. prob. Pal. (Quae correctio etiam metro commendatur. Anglice suggester, prompter.) Qu. *πρόβουλος οὖσ'.* Confer *καλλίπαις* 762. *εὐφιλόπαις* 721. *αἰνοπάτηρ* Ch. 315. *κρεισσότεκνος* (?) Sept. 784. *ἄφερτος ἄτας*] *ἄφερτον ἄταν* Heath.

388. *ἄκος*] *ἄγος* Aur. Sch. *παμμάταιον* mss. *πᾶν μάταιον* Musgr. Mein. Weckl. etc. *οὐκ ἐκρύφθη*] *οὐ κέκρυπται* Metzger. Qu. *οὐδ' ἐκρύφθη.*

389. *φῶς*] *φὼς* Sch. *σίνος*] *σίνις* Karst. *σίνους* Musgr. *σέλας* Aur. *πίνος* H. L. Ahrens.

κακοῦ δὲ χαλκοῦ τρόπον
τριβᾷ τε καὶ προσβολαῖς
μελαμπαγὴς πέλει
δικαιωθείς, ἐπεὶ
διώκων παῖς ποτανὸν ὄρνιν,
πόλει πρόστριμμ' ἔθηκ' ἄφερτον.
λιτᾶν δ' ἀκούει μὲν οὔτις θεῶν, τὸν δ' ἐπίστροφον τῶνδ'
ἄνδρα Δίκα καθαιρεῖ.
οἷος καὶ Πάρις ἐλθὼν
ἐς δόμον τὸν Ἀτρειδᾶν
ᾔσχυνε ξενίαν τράπεζαν κλοπαῖσι γυναικός.

Str. 2. *λιποῦσα δ' ἀστοῖσιν ἀσπίστορας*
κλόνους τε καὶ λογχίμους ναυβάτας ὁπλισμούς,
ἄγουσά τ' ἀντίφερνον Ἰλίῳ φθορὰν

390. *δὲ*] Qu. *τε.* *χαλκοῦ*] *χρυσοῦ* conj. Pal.

